A

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΕΚΚΛΗΣΙΑΖΟΥΣΑΙ.

# ARISTOPHANIS CONCIONANTES.

ΠΡΑΞΑΓΟΡΑ.

Ὦ λαμπρὸν ὄμμα τοῦ τροχηλάτου λύχνου.
Κάλλιστ' ἐν εὐσκόποισιν ἐξητημένον. B
Γονάς τε γὰρ σὰς καὶ τύχας δηλώσομεν.
Τροχῷ γὰρ ἐλαθεὶς κεραμικῆς ῥύμης ἄπο,
Μυκτῆρσι λαμπρὰς ἡλίου τιμὰς ἔχεις.
Ὅρμα φλογὸς σημεῖα τὰ ξυγκείμενα.
Σοὶ γὰρ μόνῳ δηλοῦμεν εἰκότως, ἐπεὶ
Κἀν τοῖσιν δωματίοισιν Ἀφροδίτης τρόπων
Πειρωμέναισι πλησίον παραστατεῖς. C
Χορδουμένων σωμάτων ἐπιστάτην,
Ὀφθαλμὸν οὐδεὶς τὸν σὸν ἐξείργει δόμων.
Μόνος δὲ μηρῶν εἰς ἀπορρήτους μυχοὺς
Λάμπεις ἀφαύων τὴν ἐπανθοῦσαν τρίχα.
Στοάς τε καρποῦ Βακχίου τε νάματος
Πλήρεις ὑποιγνύσαισι συμπαραστατεῖς.
Καὶ ταῦτα συνδρῶν, οὐ λαλεῖς τοῖς πλησίον.
Ἀνθ' ὧν συνοίσει καὶ τὰ νῦν βουλεύματα, D
Ὅσα Σκίροις ἔδοξε ταῖς ἐμαῖς φίλαις.
Ἀλλ' οὐδεμία πάρεστιν ἃς ἥκειν ἐχρῆν.
Καίτοι πρὸς ὄρθρον γ' ἐστὶν ἡδ' ἐκκλησία.
Αὐτίκα μάλ' ἔσται καταλαβεῖν ἡμᾶς ἕδρας,

PRAXAGORA.

*O splendide ocule tornatilis lucernæ,*
*Optime in bene speculatoribus expetite:*
*Generationesque enim tuas & fortunas ostendemus.*
*Trocho enim mota figulino impetu, ab*
*Nasis splendidos solis honores habes,*
*Moue flammæ signa coniacentia.*
*Te enim sola ostendimus decenter, quoniam*
*Et domunculis Veneris mores*
*Tentantibus prope astas,*
*Motorumque corporum auxiliatorum*
*Oculum nullus tuum prohibet domibus.*
*Sola autem crurum in arcana conclauia*
*splendes, illuminans pullulantem pilum:*
*Porticusque fructus, Bacchanalisque vini*
*Plena sub politibus simul astas.*
*Et hæc simul faciens, non loqueris hic prope,*
*Pro quibus conferent & nunc consilia,*
*Quæcunque Sciris apparuerunt meis amicis.*
*Sed nulla adest, quas venire oportebat,*
*Tamen ad diluculum est hoc concilium,*
*statim valde erit recipere nos sedes,*

Σχόλια. Ὦ λαμπρόν.] Πραξαγόρα λύχνον ἔχουσα προέρχεται. ὑποπτεύεται δὲ ὁ ἴαμβος ἢ τοῦ Ἀγάθωνος, ἢ τοῦ Δικαιογένους, διὰ τὰς ἑταίρας ἐγκαθιζομένας. πρὸς ὃ οὐδὲν εἶπεν, ἀλλὰ μόνον ὅτι τὰς ἑταίρας δεῖ πως. βούλεται δὲ εἰπεῖν, ὅτι τοὺς ἄνδρας προλάβωμεν εἰς τὴν ἐκκλησίαν. Τοῦ τροχηλάτου] διὰ τὸν κεραμεικὸν τροχόν. καταχρηστικῶς δὲ εἶπεν. οὐ γὰρ ἐν τροχῷ ἐλαύνεται, ἀλλὰ τύπῳ γίνεται.

Bisetus. Θαυμαστὸν διὰ τί τὰ παλαιὰ σχόλια λέγει, τοῦτο τὸ ἐπίθετον καταχρηστικῶς τοῦ λύχνου κατηγορεῖσθαι. τίς γὰρ οὕτως ἄπειρος, ὃς οὐκ οἶδε τὰ σκεύη τὰ κεραμικὰ καὶ ἐκ μετάλλων τυπωθέντα, καὶ μάλιστα τὰ κυκλοτερῆ, τροχῷ, καὶ τόρνῳ τορνοῦσθαι, τὰ μὲν, ἵνα ξέωνται, καὶ λεαίνωνται, τὰ δὲ, ἵν' οὕτω τυπῶνται; καὶ αὐτὸς ὁ ποιητὴς αὐτίκα ἐπιφέρει,

Τροχῷ γὰρ ἐλαθεὶς κεραμικῆς ῥύμης ἄπο.

ὅπερ φανερῶς ἐλέγχει τὰ παλαιὰ σχόλια οὐ καλῶς ἔχοντα.

Σχόλια. Κάλλιστ' ἐν] ἡ ἔννοια, κάλλιστα τοῖς σοφοῖς εὑρημένον, τοῖς εὖ σκεπτομένοις. οἱ δὲ, τοῖς φύλαξιν, ὅτι μετὰ λύχνου σκοποῦσιν. ῥύμης δὲ, τῆς ὁρμῆς.

Bis. Ἐξητημένον] πεποθημένον, μυκτῆρας δὲ μεταφορικῶς καλεῖ τὴν ἐξοχὴν τοῦ λύχνου, εἰς ἣν τὸ ἐλλύχνιον ἐμβάλλομεν. λαμπρὰς δὲ τιμὰς ἡλίου, τὸν λύχνον λέγει, ὅτι νυκτὸς ὁ λύχνος ἡμῖν φῶς λαμπρὸν χορηγεῖ, ὡς ὁ ἥλιος τῆς ἡμέρας. διὰ τὸν λύχνον διὰ τὴν τοῦ φωτὸς νυκτερινὴν ἐπιχορηγίαν ἡμῖν χρησιμωτάτην σφόδρα τιμῶμεν. G

Σχόλια. Ὅρμα φλογός.] σύμβολον ἡμῖν δίδου περὶ τῶν συγκειμένων διὰ τῆς φλογός. Χορδουμένων] κινουμένων. τοῦτο λέγει, ἐπεὶ οἱ συνουσιάζοντες κινοῦνται.

Bisetus. Σουΐδας τούτων μέμνηται, ἀλλὰ παρ' αὐτῷ γέγραπται λορδουμένων τε σωμάτων, ὡς καὶ ἐνταῦθα γραπτέον. λορδὸν δέ φησι τὸ ὑπόκυρτον, καὶ ἀποσεσιμωμένον, ἐναντίον τῷ κυρτῷ, ὃ καὶ κυφὸν καλεῖται. καὶ λορδὸς ὁ ἀπεξυλωμένος, καὶ συγκεκαμμένος τὸ σῶμα. καὶ Εὐστάθιος, λορδὸν παρὰ τοῖς κωμικοῖς ἀσμένως πως σχηματίζειν τὸ σῶμα. E

Σχόλια. Ἀπορρήτους μυχούς] τὸ αἰδοῖον τῆς γυναικὸς λέγει, διὰ τὸ μηδένα αὐτὸ βλέπειν. Ἀφαύων) ἀποξυρῶν. Τρίχα.) τοῦ αἰδοίου τὴν ἐπικειμένην τρίχα.

Bis. Σημείωσαι ὅτι ἡ τοιαύτη τῶν γυναικείων αἰδοίων κατασκευὴ, καὶ ψίλωσις οὐ μόνον ἐν χρήσει παρὰ τοῖς παλαιοῖς ἦν, ἀλλὰ καὶ τρυφῆς, καὶ χλιδῆς ἕνεκα ποιεῖσθαι εἰώθει, ὡς ἐκ πολλῶν τοῦδε τοῦ ποιητοῦ τόπων δῆλον. F

Σχόλια. Στοάς.) τὰ ταμεῖα ἐν αἷς ὁ σῖτος στοὰς λέγουσι. καὶ γὰρ περιμήκη.

Bis. Ὑποιγνύσαισι) ὑποιγνυούσαις, ὑπανοιγούσαις. ὑποιγνύω, καὶ ὑποίγνυμι ταὐτὸ τῷ ὑπανοίγω, τουτέστι λάθρα, καὶ κλεπτικῶς ἀνοίγω. Συνοίσει.) συνοίσει χαριέστερον. τούτων δὲ ἐστὶν ὁ νοῦς, ὅτι τὰ ἡμῶν κακουργήματα, ἅπερ ὁρᾷς πολλάκις, οὐκ ἀποκαλύπτεις, διὰ τοῦτο νῦν τῶν παρόντων ἡμετέρων βουλευμάτων ἔσῃ μέτοχος, καὶ κοινωνός. τὸ δὲ συνοίσει δεύτερόν ἐστι πρόσωπον τοῦ μέλλοντος συνοίσομαι, παρὰ τὸ συνοίσω. τὸ δὲ ει ἀντὶ τοῦ η Ἀττικὸν, καὶ ἀρχαϊκὸν σχῆμα.

Σχόλια.